Ακαδημία Αθηνών / Academy of Athens

*καὶ ὅ λ ο ν τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει* Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅ λ ο ς ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα* Δημόκριτος 204 *ἀνοήμονες οὐδέν' ἀνδάνουσιν (?)) ἐν ὅ λ η τῇ βιοτῇ* **2.** Ὅλος μαζὶ/ἑνιαῖος, all together/uniform, Ξενοφάνης 24 *ο ὖ λ ο ς ὁρᾷ, ο ὖ λ ο ς δὲ νοεῖ, ο ὖ λ ο ς δέ τ' ἀκούει* Παρμενίδης 8.38 *τό γε Μοῖρ' ἐπέδησεν ο ὖ λ ο ν ἀκίνητόν τ' ἔμεναι.* || **τὸ ὅλον.** Ἡ ὁλότης, totality, Ἐμπεδοκλῆς 2.6 *τ ὸ δ' ὅ λ ο ν ⟨πᾶς⟩ εὔχεται εὑρεῖν* **3.** Ὁλικός, total/whole, Ἡράκλειτος 10 *συνάψιες ὅ λ α καὶ οὐχ ὅ λ α, συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα* Ἀρχύτας 1.3 *περὶ γὰρ τᾶς τῶν ὅ λ ω ν φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι.*

**ὀλοφύρεσθαι.** Ὀλοφύρομαι/θρηνῶ, wail/lament, Δημόκριτος 107a *ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ' ὀ λ ο φ ύ ρ ε σ θ α ι.*

**ὄλυμπος.** Ὄλυμπος/οὐράνιος θόλος, Olympus/celestial dome, Παρμενίδης 11.2 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ ὄ λ υ μ π ο ς ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡρμήθησαν γίγνεσθαι* Ἐμπεδοκλῆς 44 *ἀνταυγεῖ πρὸς Ὄ λ υ μ π ο ν ἀταρβήτοισι προσώποις* Φιλόλαος A 16 (DK I 403,21) τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, *ὄ λ υ μ π ο ν καλεῖ*, τὰ δὲ ὑπὸ τὴν τοῦ *ὀ λ ύ μ π ο υ* φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, *κόσμον*.

**ὄμβριος.** Βρόχινος, rainy, Ξενοφάνης 30.4 *ὄ μ β ρ ι ο ν ὕδωρ.*

**ὄμβρος 1** (συνών. *ὑετός*). Βροχή, rain, Ἐμπεδοκλῆς 21.5 *ὄ μ β ρ ο ν δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε* 50 *Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον* 111.6 *θήσεις δ' ἐξ ὄ μ β ρ ο ι ο κελαινοῦ καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου ῥεύματα δενδρεόθρεπτα, τά τ' αἰθέρι ναιήσονται (?)* Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ περιχεόμε-*